Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars III. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Cyrilli Episcopi Alexandrini, de Paulo qui ante disseruerat, & de incarnatione dominica.

urn:nbn:de:hbz:466:1-15241

Visual Library

### *CYRILLI EPISCOPI Alexandrini, de Paulo qui ante disseruerat, & de incarnatione dominica.*

C.XXXIII. BEATVS propheta Isaias Christianorum doctorum facundiam prænuntians aiebat:
Isa. 12. *Haurite aquas in gaudio de fontibus Saluatoris.* En igitur hausimus vobis aquam ex sacro fonte, doctoris inquam, qui ante nos disseruit; qui Spiritus sancti lumine illustratus, exposuit nobis magnum ac venerandum Saluatoris nostri mysterium, per quem credentes in ipsum saluati, & graui ac intolerabili peccatorum mole exonerati sumus; ac præterea vinculis mortis dissipatis, prophe-
Ose. 13. ticum illud dicimus: *Vbi est*
1. Cor. 15. *mors victoria tua? vbi est sti-*
Ioan. 1. *mulus tuus, inferne?* Itaque Deus Verbum, quod erat in principio, quodque in Patris est sinu, per quod omnia & in quo omnia, vltro nostri causa sese exinaniuit, & factum
Philipp. 2. est caro, hoc est homo. Humiliauit semetipsum propter nos, & factus est filius hominis, vt nos vicissim per ipsum Deo Patre ditemur. Edocti enim sumus, cum oramus, di-
Matth. 6. cere: *Pater noster, qui es in cælis.* Ob id proinde vnigenitus factus est primogenitus, quo nos, vt dixi, bonis eius
Hebr. 12. ditemur. Sustinuit crucem confusione contempta; obtulit sponte corpus suum morti, non vt nobiscum, qui morti sumus obnoxii, mortuus maneat, sed vt mortis imperio proculcato, nos secum exsuscitet.

### ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ Ἀλεξανδρείας εἰς τὸν προεξηγησάμενον, καὶ εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου.

Ὁ Μακάριος προφήτης Ἡσαΐας τῶν ἐν Χριστῷ διδασκάλων τὰς εὐστομίας προαναπκηρύττων, ἔλεγεν· ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. ἰδοὺ τοίνυν ἠντλήσαμεν ὑμῖν ὕδωρ ἐξ ἁγίας πηγῆς, τοῦ προλαβόντος, φημὶ, διδασκάλου, ὃς καὶ ταῖς διὰ τοῦ πνεύματος δᾳδουχίαις λελαμπρυσμένος διεσάφησεν ἡμῖν τὸ μέγα καὶ σεπτὸν τοῦ σωτῆρος ἡμῶν μυστήριον, δι' οὗ σεσώσμεθα πιστεύσαντες εἰς αὐτὸν, καὶ ἀπεφορτισάμεθα τὴν δυσαχθῆ καὶ δυσφόρητον ἁμαρτίαν· καὶ προσέτι τοὺς τοῦ θανάτου διαρρήξαντες δεσμὰ, ἐκεῖνό φαμεν τὸ προφητικόν· ποῦ σου νίκη θάνατε; ποῦ τὸ κέντρον σου ᾅδη; ἑκουσίως ὁ ὢν ἐν ἀρχῇ θεὸς λόγος, ἐν κόλποις ὢν τοῦ πατρὸς, ὁ δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, τὴν δι' ἡμᾶς κένωσιν ὑπέμεινεν ἑκὼν, καὶ γέγονε σὰρξ, τουτέστιν, ἄνθρωπος. ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς, καὶ ἐχρημάτισεν υἱὸς ἀνθρώπου, ἵνα καὶ ἡμεῖς δι' αὐτοῦ πλουτήσωμεν πατέρα τὸν θεόν. δεδιδάγμεθα γὰρ λέγειν ἐν προσευχαῖς· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ἑκουσίως διὰ τοῦτο γέγονεν ὁ μονογενὴς πρωτότοκος· ἵνα ἡμεῖς, ὡς ἔφην, τὰ αὐτοῦ πλουτήσωμεν. ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, καὶ δέδωκεν ἑκὼν τῷ θανάτῳ τὸ ἴδιον σῶμα, οὐχ ἵνα μεθ' ἡμῶν τῶν ὑπὸ θάνατον ἀπομείνῃ νεκρὸς, ἀλλ' ἵνα ἡμᾶς ἑαυτῷ συναναστήσῃ, πατήσας τοῦ θανάτου τὸ κράτος.

ANNO CHRISTI 431. εὐχαριστήσωμεν οὖν τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι λόγῳ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Gratias itaque agamus Verbo propter nos incarnato, nunc & semper, & in sæcula sæculorum. Amen.

## ΕΠΙΣΤΟΛΗ ΚΥΡΙΛΛΟΥ

ἀρχιεπισκόπου Ἀλεξανδρείας πρὸς Ἰωάννην Ἀντιοχείας, ἀποσταλεῖσα διὰ Παύλου ἐπισκόπου Ἐμίσης.

## EPISTOLA CYRILLI

archiepiscopi Alexandriæ, ad Ioannem Antiochenum episcopum, missa per Paulum episcopum Emesæ.

Τῷ κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ Ἰωάννῃ Κύριλλος ἐν κυρίῳ χαίρειν.

*Domino meo dilecto fratri & comministro Ioanni Cyrillus in Domino salutem.*

ΕΥΦΡΑΙΝΕΣΘΩΣΑΝ οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ· λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ· καὶ πέπαυται τὸ λυποῦν· καὶ διχονοίας ἁπάσης ἀνῄρηται τρόπος, τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύσαντος· κεκληκότων δὲ πρὸς τοῦτο ἡμᾶς καὶ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων· οἱ προγονικῆς εὐσεβείας ἄριστοι ζηλωταὶ γεγονότες, ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον τὴν ὀρθὴν ἐν ἰδίαις ψυχαῖς φυλάττουσι πίστιν, ἐξαίρετον δὲ ποιοῦνται φροντίδα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν· ἵνα διαβόητον ἔχωσιν εἰς αἰῶνα τὴν δόξαν, καὶ εὐκλεεστάτην ἀποφήνωσι τὴν ἑαυτῶν βασιλείαν. οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων Χριστὸς κύριος πλουσίᾳ χειρὶ διανέμει τὰ ἀγαθά· καὶ δίδωσι μὲν κατακρατεῖν τῶν ἀνθεστηκότων, χαρίζεται δὲ τὸ νικᾶν. οὐ γὰρ ἂν διαψεύσηται λέγων· ὅτι ζῶ ἐγώ, λέγει κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω. ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου μου τοῦ θεοφιλεστάτου συλλειτουργοῦ καὶ ἀδελφοῦ Παύλου,

LÆTENTVR *cæli, & exultet terra.* C.XXXIV. *Psal. 95.* Solutus est enim medius paries maceriæ, *Ephes. 2.* & quod mœrorem afferebat, conquieuit, & omne dissidiorum genus sublatum est, omnium nostrum saluatore Christo pacem ecclesiis suis tribuente, religiosissimis autem, Deoque dilectissimis imperatoribus nostris ad id nos vocantibus: qui cum auitæ religionis optimi æmulatores existant, fidem rectam animis suis firmam, immotamque custodiunt: quin & singularem quoque sanctis ecclesiis curam impendunt, vt celeberrimam gloriam obtineant perpetuam, & regnum suum florentissimum constituant: quibus & ipse supernarum virtutum Dominus Christus larga manu impertit bona, datque potiri hostibus, ac victoriam donat. Non enim mentitur dicens: *Viuo ego, dicit Dominus, quia glorificantes me glorificabo.* 1. Reg. 2. Cum itaque dominus meus religiosissimus Paulus comminister & frater Alexandriam venisset,